# Παρακλητικός κανόνας οσίου Ανθίμου του εν Χίω




Εὐλογήσαντος τοῦ ἱερέως ἀρχόμεθα ἀναγινώσκοντες τόν ΡΜΒ’ (142) Ψαλμόν.

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τήν δέησιν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσον μου ἐν τῇ δικαιοσύνῃ σοῦ καί μή
εἰσέλθῃς εἰς κρίσιν μετά τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιον σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρός τήν ψυχήν μου,
ἐταπείνωσεν εἰς γῆν τήν ζωήν μου, ἐκάθισε μέ ἐν σκοτεινοῖς ὡς νεκρούς αἰῶνος καί ἠκηδίασεν ἐπ’ ἐμέ τό πνεῦμα μου, ἐν ἐμοί
ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.
Διεπέτασα πρός σέ τάς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρος σοί. Ταχύ εἰσάκουσον μου, Κύριε, ἐξέλιπε τό πνεῦμα μου μή
ἀποστρέψῃς τό πρόσωπον σου ἀπ’ ἐμοῦ, καί ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστόν ποίησον μοί τό πρωί τό ἔλεός
σου, ὅτι ἐπί σοί ἤλπισα γνώρισον μοί, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρός σέ ἦρα τήν ψυχήν μοῦ ἐξελοῦ μέ ἐκ τῶν ἐχθρῶν μου,
Κύριε, ὅτι πρός σέ κατέφυγον. Δίδαξον μέ τοῦ ποιεῖν τό θέλημά σου, ὅτι σύ εἰ ὁ Θεός μοῦ τό πνεῦμα σου τό ἀγαθόν ὁδηγήσει μέ ἐν γῇ
εὐθείᾳ. Ἕνεκεν τοῦ ὀνόματος σου, Κύριε, ζήσεις μέ, ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τήν ψυχήν μου καί ἐν τῷ ἐλέει σου
ἐξολοθρεύσεις τούς ἐχθρούς μου καί ἀπολεῖς πάντας τούς θλίβοντας τήν ψυχήν μου, ὅτι ἐγώ δοῦλος σου εἰμι.

Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος ά'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καί ἐπικαλεῖσθε τό ὄνομα τό ἅγιον αὐτοῦ.
Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος β'. Πάντα τά ἔθνη ἐκύκλωσαν με, καί τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος γ'. Παρά Κυρίου ἐγένετο αὕτη, καί ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.
Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Εἶτα τά παρόντα Τροπάρια·
Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.
Ἐν ἰσαγγέλῳ βιοτῇ διαπρέψας, καί ἐν καθέδρᾳ πρεσβυτέρων αἰνέσας, τῷ τῶν ἁπάντων Κτίστῃ, Ἄνθιμε κλεινέ, και τροφεύς γέγονας
καί ὀρφανῶν καί ἀπόρων, καί νοσούντων ἄριστος ἰατρός καί προστάτης. Ὅθεν ἡ Χίος πόθῳ σοι βοᾷ, μή ἐπιλάθῃ τῆς ποίμνης σου,
Ἅγιε.
Δόξα.
Τῶν ἀρετῶν σου ἡ πολύφωνος σάλπιγξ, καί ἡ πληθύς τῶν ἱερῶν σου θαυμάτων, περιφανῆ σε ἔδειξεν ἐν Χίῳ τό πρίν, νῦν
δέδοξαζόμενος σύν ταῖς ἄνω χορείαις, Ἄνθιμε πάτερ ἡμῶν, ἐν παστάδι Κυρίου, ὑπέρ ἡμῶν μή πταύσῃι δυσωπῶν, ἀπαλλαγῆναι
κινδύνων καί θλίψεων.
Καί νῦν. Θεοτοκίον.
Οὐ σιωπήσομέν πότε, Θεοτόκε, τάς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι. Εἰ μή γάρ Σύ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ
τοσούτων κινδύνων; Τίς δέ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ Σοῦ· Σούς γάρ δούλους σῴζεις ἀεί, ἐκ
παντοίων δεινῶν.

Εἶτα ὁ Ν' (50) Ψαλμός.
Ἐλέησόν με, ὁ Θεός, κατά τό μέγα ἔλεός Σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τό ἀνόμημα μου. Ἐπί πλεῖον πλῦνόν με
ἀπό τῆς ἀνομίας μου καί ἀπό τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τήν ἀνομίαν μου ἐγώ γινώσκω καί ἡ ἁμαρτία μου ἐνώπιον μου ἐστι
διά παντός. Σοί μόνῳ ἥμαρτον καί τό πονηρόν ἐνώπιον Σου ἐποίησα, ὅπως ἄν δικαιωθῇς ἐν τοῖς λόγοις Σου καί νικήσῃς ἐν τῷ
κρίνεσθαι Σε. Ἰδού γάρ ἐν ἀνομίαις συνελήφθην καί ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδού γάρ ἀλήθειαν ἠγάπησας, τά ἄδηλα καί
τά κρύφια τῆς σοφίας Σου ἐδήλωσας μοι. Ῥαντιεῖς με ὑσσώπῳ καί καθαρισθήσομαι, πλυνεῖς με καί ὑπέρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καί εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τό πρόσωπον Σου ἀπό τῶν ἁμαρτιῶν μου
καί πάσας τάς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαράν κτίσον ἐν ἐμοί ὁ Θεός καί πνεῦμα εὐθές ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μή
ἀπορρίψῃς με ἀπό τοῦ προσώπου Σου καί τό Πνεῦμα Σου τό Ἅγιον μή ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τήν ἀγαλλίασιν τοῦ σωτηρίου
Σου καί πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τάς ὁδούς Σου καί ἀσεβεῖς ἐπί σέ ἐπιστρέψουσιν. Ῥῦσαι με ἐξ αἱμάτων ὁ
Θεός, ὁ Θεός τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσα μου τήν δικαιοσύνην Σου. Κύριε, τά χείλη μου ἀνοίξεις καί τό στόμα μου
ἀναγγελεῖ τήν αἴνεσιν Σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα
συντετριμμένον, καρδίαν συντετριμμένην καί τεταπεινωμένην ὁ Θεός οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ Σου τήν Σίων
καί οἰκοδομηθήτω τά τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφοράν καί ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπί τό
θυσιαστήριον Σου μόσχους.

Και Αρχόμεθα τοῦ κανόνος οὗ ἡ ακροστιχίς·

Θαυματουργείς ζῶν τε θανῶν τε Θεοφόρε.
Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγραν διοδεύσας.
Θεόθεν ἐδώθης ἡμῖν ποιμήν, Ἄνθιμε τρισμάκαρ καὶ σοῖς λόγοις τοῖς ἱεροῖς, μάνδραν πρὸς οὐράνιον διαβιβάζων, καθοδηγεῖ ἐν σκηναῖς
ἀναπαύσεως.
Ἀνθήσας ἐν Χίῳ Πάτερ σοφέ, ταύτην ἁγιάζεις διὰ βίου σου τοῦ σεπτοῦ, θαύμασι πλείστοις τι πλουτίζεις, ζῶν καὶ μετὰ θάνατον Ἅγιε.
Ὕπνῳ καθωράθης τῇ γυναικί, ποθούσῃ μυρίσαι λείψανόν σου τὸ ἱερόν, φαιδρὸς λευκοφόρος ἐπιλέξεις, ἐγὼ ὦ γῦναι τὸν δρόμον
τετέλεκα.
Θεοτοκίον.
Μαρία πανύμνητε τῶν πιστῶν, βοήθεια σκέπη ἀγαλίαμα τὸ τερπνόν, μὴ παύσῃ τοῖς πᾶσι χορηγοῦσα, τὴν σωτηρίαν ψυχῆς τε καὶ
σώματος.
Ὠδὴ γ΄. Οὐρανίας ἀψίδος.
Ἀτεκνούσαις μητέραις θαυματουργεῖς Ὅσιε, δῶρον εἴληφως θεοφόρε παρα Χριστοῦ τοῦ Θεοῦ, ζῶν ἐν τῷ βίῳ ὡς πριν και μετα
θάνατον οὕτως, ζῶσιν εἰς αἰῶνα γαρ ὄντως οἱ δίκαιοι.
Το σον πάντιμον σκῆνος δάφνη ἐκοσμήθη σοῦ ὑπνωθέντος σαρκί, καθ' ὕπνῳ δι' ἐφάνη, γυναικὶ στειρευούσῃ ἐωτών, τὰ τῆς δάφνης

φύλλα, βρᾶσον ὦ γῦναι και πιοῦσα, το ποθούμενον λείψη σαφέστατα.
Οὐρανίων χαρίτων ἀξιωθεις Ὅσιε, χάριν ἀτεκνοῦσαι μητέρες τῇ μεσιτείᾳ σου, ἐν τῇ κοιμήσει τῇ σῇ, ἀπολαμβάνουσιν ὄντως, ἐκ τῆς
δάφνης ὅθεν σε πόθῳ γεραίρουσιν.

Θεοτοκίον.
Ὑπεράγαθε Κόρη καὶ ἀληθὴς Δέσποινα, τοῦ παμβασιλέως Δεσπότου Μήτηρ ὑπάρχουσα, Σὺ πανύμνητε, ταύτην τὴν ποίμνην Σου σκέπε,
καὶ ἀεὶ περίσωζε τῇ μεσιτείᾳ Σου.
Διάσωσον ἀπό κινδύνων ἡμᾶς, Ἄνθιμε θεῖε, ὅτι πάντες πρός Θεόν σέ ἔχομεν, διάπυρον πρεσβευτήν καί μεσίτην.
Ἐπίβλεψον, ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε, ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν, καί ἴασαι, τῆς ψυχῆς μου τό ἄλγος.

Αἴτησις καί τό Κάθισμα.
Ἦχος α΄. Τόν τάφον σου. Σωτήρ.

Ἡμέρα ἱερά, μυστικῆς πανδαισίας, ἐπέστη νῦν ἡμῖν, τῆς τιμίας σου μνήμης, καθ’ ἣν θεῖε Ἄνθιμε, εἰς ουρανίους θαλάμους ἀνελήλυθας,
συν Ἀγγέλοις δοξάζων, Τριάδα την ἄκτιστον.

ᾨδὴ ε΄. Ἵνα τί με ἀπώσω.
Συνεχόμενα πλείσταις θλίψεσι μακάριε καὶ περιστάσεσι τῶν πιστῶν τὰ πλήθη, ἐν τῷ βίῳ παρήγορον Ἄγγελον, ἔσχον σε τὸ πάλαι, νῦν δὲ
πρεσβεύεις ἐν ὑψίστοις ὑπερ πάντων ἡμῶν τῶν ὑμνούντων σε.
Ζῶντά σε καθ’ ὁρῶμεν πλείστοις ἐνυπνίοις ἀσθενεῖς τε καὶ πάσχοντες, πίστει ἀδιστάκτῳ προς την σην καταφεύγομεν λάρνακα, τας
πικρας ὀδύνας τας τῶν ψυχῶν καὶ τῶν σωμάτων, σαῖς εὐχαῖς θεραπεύεις ταχύτατα.

Ὡς ἐφώνει σε Πάτερ Ἄνθιμε πανσέβαστε ἀλλοδαπῶν ἐν γῇ, ὑπερ τοῦ υἱοῦ της, ἱκετεύουσα μήτηρ ἑώρακε, την σεπτην μορφήν σου,
Σταυρον κρατῶν ἐν δεξιᾷ δέ, προσελάλεις αὐτῇ συμπαθέστατα.
Θεοτοκίον.
Νόμου πλήρωμα Κόρη, καὶ καταφύγιον καὶ Βοήθεια πάναγνε Θεοτόκε, πάντων γηγενῶν χρηματίσασα πρέσβευε, τὸν ἐκ Σοῦ τεχθέντα
λῦσιν δοθῆναι ἐγκλημάτων, τοῖς ὑμνοῦσί Σε μόνη πανύμνητε.
ᾨδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.
Τῆς ποίμνης σου τῇ χαρᾷ, τῆς Χίου πάσης ἀγλάϊσμα, ἐξέλαμψεν ἀληθῶς ἡ μνήμη σου Ἅγιε, καὶ πάντας ἐφαίδρυνε ταις φαεινοτάταις

ἀστραπαῖς τῶν θαυμασίων σου.
Ἐν τῇ σεπτῇ σου Μονῇ, ὡς θησαυρος ἀδαπάνητος, ἡ πάνσεπτός σου σορός, Πάτερ τεθησαύρισται, Ἄνθιμε μακάριε, Πνεῦμα δὲ σοῦ
θεῖον, οὐρανίοις νῦν αὐλίζεται.
Θείαν παράσχου ἡμῖν, Ἅγιε Πάτερ ἀντίληψιν, ἐπιτελοῦσι πιστῶς, τῶν θείων λειψάνων σου, ἑορτην πανέντιμον, παῤῥησίαν ἔχων προς
τον Κύριον δεόμεθα.

Θεοτοκίον.
Ἀσμάτων ᾆσμα Σὺ εἶ, Θεοχαρίτωτε Δέσποινα, Ἀγγέλων ἡ καλλονή, βροτῶν ἡ ἀνάπλασις, Θεὸν γὰρ ἐγέννησας, σεσωματωμένον
Θεοτόκε Ἀειπάρθενε.

Αἴτησις καί τό Κοντάκιον.
Ἦχος β΄. Προστασία τῶν χριστιανῶν.
Ὡς προστάτης τῶν χριστιανῶν ὁ θερμότατος, καί μεσίτης πρός τόν Θεόν συμπαθέστατος, μή παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς,
ἀλλά πρόφθασον, Πάτερ, ταχύ, εἰς τήν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· τάχυνον εἰς πρεσβείαν καί σπεῦσον εἰς ἱκεσίαν,
ὡς παρρησίαν, κεκτημένος πρός Κύριον.
Προκείμενον.
Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην καί οἱὅσιοί σου ἀγαλλιάσονται

Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καί οἱ ὅσιοί σου ἀγαλλιάσονται.
Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.
Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περί πάντων ὧν ἀνταπέδωκεν ἡμῖν.
Εὐαγγέλιον, Ἐκ τοῦ κατᾶ Μάρκον (Κέφ. η’ 34 – θ’ 1).
Εἶπεν ὁ Κύριος· ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτον καὶ ἀράτω τον σταυρον αὐτοῦ, καὶ ἀκολουθείτω μοι. Ὃς γαρ
ἂν θέλῃ την ψυχην αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ’ ἂν ἀπολέσῃ την ἑαυτοῦ ψυχην ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου, οὗτος σώσει
αὐτήν. Τί γαρ ὠφελήσει ἄνθρωπον ἐαν κερδήσῃ τὸν κόσμον ὅλον, καὶ ζημιωθῇ την ψυχην αὐτοῦ; Ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα
τῆς ψυχῆς αὐτοῦ; Ὃς γαρ ἐαν ἐπαισχυνθῇ με καὶ τους ἐμους λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ υἱος τοῦ
ἀνθρώπου ἐπαισχυνθήσεται αὐτον ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ πατρος αὐτοῦ μετὰ τῶν ἀγγέλων τῶν ἁγίων. Καὶ ἔλεγεν αὐτοῖς· ἀμην
λέγω ὑμῖν ὅτι εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου

ἕως ἂν ἴδωσι την βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν
δυνάμει.

Δόξα.
Ταῖς τοῦ Ὀσίου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τά πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.
Καί νῦν.
Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.
Στίχ. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...
Ἦχος πλ. β΄.
Εὐ δοῦλε ἀγαθέ καί πιστέ, εὖ ἐργάτα τοῦ ἀμπελῶνος Χριστοῦ. Σύ καί τό βάρος τῆς
ἡμέρας ἐβάστασας, καί τό δοθέν σοι τάλαντον ἐπηύξησας, καί τοῖς μετά σέ ἐλθοῦσιν οὐκ ἐφθόνησας· διό ἠνέῳκταί σοι ἡ πύλη τῆς
οὐρανῶν βασιλείας. Εἴσελθε οὖν εἰς τήν χαράν τοῦ Κυρίου σου, καί πρέσβευε ὑπέρ ἡμῶν, Πάτερ ἁγιώτατε.
Σῶσον, ὁ Θεός, τόν λαόν σου...

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.
Ναος τῆς Βοηθείας καὶ Μονὴ ταύτης Πάτερ Μάρτυς ἐστὶ ἀψευδής, ἀμέτρων σου καμάτων καὶ ποικίλων θαυμάτων, διὸ πάντες
κραυγάζουσιν· ὁ τῶν Πατέρων Θεός, εὐλογητος εἶ.
Ὡς θεῖος ποιμενάρχης ὁδήγησον προς τρίβους την ποίμνην σου Ἅγιε, ζωῆς καὶ σωτηρίας, εὐχαῖς σου θεοφόρε, Κυρίῳ κραυγάζουσαν· ὁ
τῶν Πατέρων Θεός, εὐλογητος εἶ.
Ναμάτων ζωηῤῥύτων πηγην πλουτοῦμεν Πάτερ σην θείαν λάρνακα, ῥυόμεναι ἐκ βλάβης, εὐχαῖς σου καὶ κινδύνων, ἀεί τε κραυγάζομεν·
ὁ τῶν Πατέρων Θεός, εὐλογητος εἶ.
Θεοτοκίον.
Τῆς Σῆς σεπτῆς νηδύος ὁ καρπος Θεοτόκε ἡμᾶς ἐζώωσε, καρπῷ θανατωθέντας, διό Σε κατὰ χρέος ἀνυμνοῦντες κραυγάζομεν· ὁ τῶν
Πατέρων Θεός, εὐλογητος εἶ.

Ὠδὴ η΄. Τον Βασιλέα.
Ἔχει σε Πάτερ, Μονη Βοηθείας προστάτην, ἐν αὐτῇ γὰρ ἤνθησαν ὡς κρῖνα, οἱ σοὶ σεπτοὶ πόνοι, καὶ κάματοι θεόφρον.
Θαυμάζει ὄντως, πᾶς πιστος θεῖε Πάτερ, πῶς ἐκ τοῦ μὴ ὄντος, ἐσυστήσω, τῇ Παρθένῳ οἴκῳ, εἰς οἴκησιν παρθένων.

Ἐν ὑψίστοις, μετοικήσας θεόφρον, τὰ σὰ τέκνα μὴ παύσῃ ἐποπτεύων, ἵνα σαῖς πρεσβείαις, ῥυσθείημεν κινδύνων.
Θεοτοκίον.
Ὄντως βρύεις, χαρισμάτων Παρθενομῆτορ, ὅτι Σὺ τον πάντων Βασιλέα, ἔτεκες τῷ κόσμῳ, βροτῶν εἰς σωτηρίαν.
Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.
Φωστὴρ τῶν μοναζόντων, ἱερέων ἀκρότης, τῶν παρθένων σκέπη καὶ στήριγμα, καὶ ἰατρος ἀσθενούντων, ἐδείχθης Ἅγιε.
Ὀνείρῳ ἐποπτάνης, νεάνιδι ὦ Πάτερ, ἐνθαῤῥύνων ταύτην καὶ γάρ, πιστοποιῶν ὅτι λήψεται τὸ ποθούμενον.
Ῥανίσι σῆς εὐνοίας, καθ᾽ ὕπνους παροτρύνεις, ὀφθαλμον ἐγχειρῆσαι ταχύ, γυναικὶ θαῤῥούσῃ σῇ θερμῇ ἀντιλήψει μακάριε.
Θεοτοκίον.
Ἐλέησον Παρθένε, την Σὲ γεραίρουσαν ποίμνην Θεοχαρίτωτε, θείου Ἀνθίμου πρεσβείαις τοῦ Σοῦ θεράποντος.
Ἄξιον ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον, καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν
τιμιωτέραν τῶν Χερουβείμ, καί ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τήν ὄντως Θεοτόκον
Σέ μεγαλύνομεν.
Καί τά παρόντα Μεγαλυνάρια,
Χαίροις Ἐκκλησίας νέεε ἀστήρ, δόξα μοναζόντων, εὐφροσύνη μοναζουσῶν, πατέρων λαμπρότης, ὁ πλήρης χαρισμάτων, τό κλέος τῆς
σῆς ποίμνης, ὦ πάτερ Ἄνθιμε.
Ἄνθος νεοκόσμητον καί τερτνόν, ἤνθησεν ἐν κόσμῳ, καί Ἐκκλησίας νέος φωστήρ, ἡμῶν δε τῆς ποίμνης, ὁ μέγα ποιμενάρχης, ὁ
Ἄνθιμος ὁ θεῖος, ὅν νῦν γεραίρομεν.
Ἐντολάς Κυρίου τηρῶν πιστῶς, γέγονας προστάτης, πενομένων καί ὀρφανῶν, ἐνδεεῖς στεγάζῶν, ἐν οἴκῳ Κυρίου, λιμήν τῆς εὐποιΐας
μέγας γενόμενος.
Χοροί τῶν πατέρων περιχαρῶς, δέξασθε προσθήκην, εὐκλεῆ τε καί ἱεράν, τῆς Χίου το ἄνθος, τόν Ἄνθιμον τόν νέον, καί ᾄσατε Κυρίῳ
ὕμνον ἐπάξιον.
Ἔχει Βοηθείας θεία Μονή, σκήνωμά σου το ἱερόν κεκρυμμένον ὡς θησαυρόν, πνεῦμα δέ το θεῖον, ἐν Παραδείσου κήπῳ, πέφυκεν
ὥσπερ ἄνθος. Χριστοῦνεόφυτον.

Ἅπασα ἡ Χίος πανευλαβῶς, συνηθροίσθη τῇ κοιμήσει σου, Πάτερ, τῇ σετττῇ, λαβεῖν σας εὐχάς, ἅς δέδωκας πλουσίως, ὡς συμπταθής,
και ταύτην θερμῶς ηὐλόγησας.

Ἔπιδε Πάτερ ἐξ οὐρανοῦ, βλέψον πρός σά τέκνα, ἅ κατέλιπες ἐπί γῆς, ἐν πόθῳ κυκλοῦντα τον ἱερόν σου τάφον, ἐν ᾧ τό τίμιόν σου
ἐτέθειτο σκήνωμα.
Ἄνθος ἐκ τῆς Χίου φυέν τερπνόν, ἀρεταῖς ποικίλαις, εὐωδίασε νοητῶς, τῶν πιστῶν τά πλήθη, ὁ Ἄνθιμος ὁ θεῖος, μοναζόντων ὁ
στῦλος καί το προπύργιον.
Ῥῦσαι ἐκ κινδύνων καί πειρασμῶν, θλίψεων καί νόσων, πάσης βλάβης καί συμφορᾶς, πάντας ἡμᾶς πάτερ, Ἄνθιμε θεοφόρε, καί
πρέσβευε ἀπαύστω ὑπέρ τῶν δούλων σου.
Σῶσον ἡμᾶς πάντας, Υἱέ Θεοῦ διά μεσιτείας τοῦ ὁσίου πατρός ἡμῶν, ὅπως ἐν εἰρήνῃ διέλθωμεν τόν βίον, καί δόξης αἰωνίου
ἀξιωθῶμεν.
Χαίροις τῆς Μονῆς σου ὁ θησαυρός, σκέπη τῶν παρθένων, ἱερέων ὁ στολισμός, καί τῶν ἐν κινδύνοις ὁ μέγας ἀντιλήπτωρ. ἴασις
ἀσθενούντων, ὦ πάτερ Ἄνθιμε.
Ηνθησας ὡς φοῖνιξ ἀειθαλής, ἐν τῇ νήσῳ Χίῳ, πατερ Ἄνθιμε θαυμαστέ, νῦν δέ ἐν θαλάμοις, οἰκεῖς ἐπουρανίοις, τόν ὕπνον τῶν
δικαίων ἀναπαυόμενος.
Τον τῆς νήσου Χίου θεῖον βλαστόν, καί τῆς Ἐκκλησίας τόν πολύτιμον θησαυρόν, τόν τῶν μοναζόντων τό καύχημα καί κλέος, τόν
Ἄνθιμον τον νέον ὕμνοις τιμήσωμεν.
Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν
εἰς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (Τρίς).
Δόξα Πατρί, καί Υἱῶ, καί ἁγίῳ Πνεύματι,
καί νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Παναγία Τριάς, ἐλέησον ἡμᾶς· Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τάς ἀνομίας ἡμῖν· Ἅγιε, ἐπίσκεψαι καί
ἴασαι τάς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματος σου.
Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.
Δόξα Πατρί...
Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τό ὄνομα σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τό θέλημά σου, ὡς ἐν οὐρανῷ, καί ἐπί
τῆς γῆς. Τόν ἄρτον ἡμῶν τόν ἐπιούσιον δός ἡμῖν σήμερον· καί ἄφες ἡμῖν τά

ὀφειλήματα ἡμῶν, ὡς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καί μή εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλά ῥῦσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ.
Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καί ἡ δύναμις καί ἡ δόξα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γάρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοί γάρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καί τό ὄνομα Σου ἐπικεκλήμεθα.

Καί νῦν.

Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων· Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ἀπολυτίκιον. Ἦχος γ΄. Θείας πίστεως.

Νέον στήριγμα, ὀρθοδοξίας, νεοκόσμητον, ἄνθος ἁγνείας, Νικομηδείας Ανθίμου συνώνυμος, τῶν ἀρετῶν δὲ ἐκείνου ὁμότροπος, νέων Ὁσίων σφραγις καὶ ἀγλάϊσμα, Πάτερ Ἄνθιμε, τῆς Χίου πάσης τὸ καύχημα, Χριστον τὸν Θεον ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἕτερον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Χορὸς ὁ τῶν Πατέρων εὐμενῶς ὑποδέχθητι, τον νέον ἐν τοῖς χρόνοις, καὶ ὑμῶν τον ὁμότροπον· τὸ ἄνθος τὸ εὔοσμον Χριστοῦ, τον Ἄνθιμον τῆς Χίου, τὸ σεπτον ἐγκάλλωπισμα καὶ κλέος καὶ τῆς Μονῆς Βοηθείας δομήτορα, μέγιστον ἀντιλήπτορα πιστῶν, ἐκ γῆς μεν μεθιστάμενον καὶ συν ὑμῖν ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύοντα.
Ἐκτενής καί Ἀπόλυσις, μεθ' ἥν ψάλλομεν τά ἑξῆς·

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε, ἐλειτούργεις ἐπὶ γῆς, ἱερεὺς ὑπάρχων Ὑψίστου, Ἄνθιμε πάντιμε, ἔλαμπεν ὡς ἄγγελος, ἡ ἱερά σου μορφή, ἐκ τῆς χάριτος Ὅσιε, τῆς ἔνδον οἰκούσης, νῦν μετὰ Ἀγγέλων δέ, ἐν οὐρανοῖς λειτουργῶν, Πάτερ, μὴ ἐλλίπῃς πρεσβεύων, καὶ ἐκδυσωπῶν τον Σωτῆρα, ἵνα σώσῃ πάντας τοὺς τιμῶντάς σε.

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.
Την πᾶσαν ἐλπίδα μου, εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ την σκέπην Σου.

Δἰ’ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν,
Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς.
Ἀμήν.